τοῖς ἐλεουμένοις τὴν εὐεργεσίαν εἰσάγει, ὅσον ἑαυτῷ καταβάλλεται καὶ προξενεῖ τὸ κέρδος· διὰ τοῦτο τὸ περιορᾷν τὸν εἰς τοὺς ὁμοφυεῖς ἔλεον ὑστέρησιν τῆς ἰδίας λιπάνσεως καὶ τῆς ὠφελείας ἀποκαλεῖ· καὶ οὐχ ἁπλῶς ὑστέρησιν μέρους τινὸς τῶν τυχόντων ἐν τῷ σώματι, ἀλλὰ τοῦ κυριωτάτου καὶ συνεκτικωτάτου, τῆς κεφαλῆς. Ἀλλὰ γάρ, οἷον εἴρηται, τοιοῦτόν ἐστι καὶ τὸ μὴ 1) ὑστερεῖσθαι δι' ὧν ἡ κεφαλὴ ἐπαλείφεται· πολλοὶ γάρ, οὔτε τοῦ ἐλέου τὴν κτῆσιν οὐδὲ τὴν χρῆσιν θαυμάζοντες, τῆς ἀπ' αὐτοῦ δόξης καὶ ὀνομασίας τὸν ἔρωτα ὑποδύονται· καὶ οἱ μὲν διανέμουσί τινα τῶν προσόντων, καὶ ταῦτα οὐδὲ αὐτοῖς περισπούδαστα, τὴν τοῦ ἐλέου παρωνυμίαν συνάγειν βουλόμενοι· οἱ δέ, ἵνα τοῖς πολλοῖς δόξωσι χρημάτων κρείττους, καὶ τῶν πολὺ σπουδαζομένων ὑπερόπται· οἱ δὲ δι' ἕτερόν τι τῶν μηδὲν εἰς τὸν τῆς ἀρετῆς ἀναφερομένων λόγον· ὧν, κἂν δοκῇ διαῤῥέειν ὁ ἔλεος, ἀλλ' οὐκ ἀπὸ τῆς κεφαλῆς, οὐδὲ ἐπὶ τὴν κεφαλὴν ὁ τοιοῦτος φέρεται· οὐ γὰρ ἐν κρίσει διανοίας καὶ ὀρθότητι, ἀλλὰ σαλευομένῃ γνώμῃ, καὶ θεραπείᾳ παθῶν, ὃ συμφερόντως ἂν καὶ σωτηριωδῶς μάλιστα τῷ κενοῦντι διαχεῖσθαί τε καὶ δαψιλεύεσθαι εὖ μάλα ἠδύνατο, ἐπιζημίως τε καὶ ἐπισφαλῶς ἀποκενοῦται, καὶ μηδὲ σταλαγμὸν ὠφελείας τοῖς κενοῦσιν ἀνταλλαττόμενον. Ὁ δὲ ἐπὶ θεραπείᾳ μόνῃ τῶν πενήτων, καὶ τῷ ἱλασμῷ τῆς ἰδίας ψυχῆς, καὶ τῷ τῆς ἀρετῆς ἔρωτι 2) νέμων τὸν ἔλεον, οὗτος ὡς ἀληθῶς ἀπὸ κεφαλῆς τε τὸ δῶρον προχέει, καὶ τῆς ὀρθῆς κρίσεως, καὶ τὴν ἑαυτοῦ κεφαλὴν οὐκ ἀποστερεῖ τῆς ἀναῤῥωννυούσης τὸ ἡγεμονικὸν καὶ ἱλαρυνούσης λιπάνσεως. Δῆλον δ', ὅτι τῷ τῆς ἐλεημοσύνης κατορθώματι καὶ αἱ 3) ἄλλαι συναναφύουσι καὶ συνεξανθοῦσιν ἀρεταί· τίς γὰρ ὡς ἀληθῶς ἀκαπήλευτον φέρων ἐν ἑαυτῷ τοῦ ἐλέους τὸ πολυτίμητον χρῆμα, βάσκανον ὀφθαλμὸν ἐπιβαλεῖ τῷ πλήσιον, ἢ τύραννον ἐπαφήσει χεῖρα, καὶ ταύτην, ἣν οὔπω ἔληξε προτείνειν τὸν ἔλεον ἀναβλύζουσαν; τίς δὲ λῃστὴς ἀλλοτρίων ἔσεται γάμων, τῷ ἐλέῳ περιῤῥεόμενός τε καὶ τὴν γνώμην μαλασσόμενος; ἀλλά γε τόκους πῶς εἰσπράξεται τοὺς ὀφειλέτας οὗτος, ὁ καταμερίζων τοῖς ἐνδεεστέροις καὶ ὅσα κλῆρος ὁ πατρῷος εἰς αὐτὸν διεβίβασεν; οὐκοῦν διὰ μιᾶς ἀρετῆς, τῆς ἀναβλυζούσης τὸν ἔλεον, καὶ τὰς ἄλλας, ὡς συγγενεῖς καὶ συνακολούθους, ὁ τὴν ἡγεμονίαν ἐκείνης προκαταλαβών, εἰς φάλαγγας ἑαυτῷ καὶ συμμάχους διατάξει καὶ ἐξοικειώσεται.

§. γ'. Τοῦ δὲ κατωρθωκότος ἐν σπουδῇ καὶ σοφίᾳ τὸν ἔλεον, τούτου γ' ἂν 4) εἶεν καὶ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς, τουτέστιν ἡ ἐποπτική τε καὶ διακρίνουσα τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἕξις καὶ δύναμις· τοῖς γὰρ ἀποδιϊσταμένοις τῆς κατὰ τὸν ἔλεον πράξεως καὶ συμπαθείας, οἱ ὀφθαλμοὶ καὶ ἡ διάκρισις οὐκέτι ἐπὶ τῆς κεφαλῆς, οὐδ' ὥστε φαίνειν καὶ ὁδηγεῖν τὸν αὐτοῖς χρώμενον, ἀλλ' ἐπὶ τῆς ὀσφύος, ἢ τῆς γαστρός, μᾶλλον δὲ τῶν ποδῶν γεγόνασιν ὑποπόδιον, καταπατούμενοι τε καὶ ἀχρειούμενοι, καὶ τυφλὸν καὶ πλανώμενον ἐν βαθεῖ σκότῳ καταλειπόντες τὸν ἄνθρωπον. Εἰ δὲ καὶ 5) «Κεφαλὴ ἀνδρὸς ὁ Χριστός» 6), παραινεῖ τὸ λόγιον ἡμᾶς ἀεὶ καὶ διὰ παντὸς πρὸς αὐτὸν ἀφορᾶν, καὶ ἐν αὐτῷ πᾶσαν ἡμῶν στηρίζειν καὶ ἀνατείνειν τὴν ἐποπτικήν τε καὶ θεωρητικὴν ἡμῶν ἐπιμέλειαν· «προωρώμην γὰρ τὸν κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ» 7)· ἀλλὰ γὰρ καὶ «ὡς ὀφθαλμοὶ παιδίσκης, φησίν, εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν» 8)· καὶ τὸ κέρδος οἷον; καταλαμβάνουσιν ἡμᾶς αἱ 9) φιλότιμοι καὶ πλούσιοι δωρεαί 10). Καὶ μὴν καὶ διὰ παντὸς ὄντων τῶν ἡμετέρων ὀφθαλμῶν πρὸς τὸν Κύριον, αἱ παγίδες, ἃς ὁ ἐχθρὸς παρὰ τὰ διαβήματα ἡμῶν ἐντείνει, ἀργαὶ καὶ ἄπρακτοι, καὶ τοὺς πόδας ἡμῶν κατέχειν οὐδεμίαν ἰσχὺν ἔχουσαι· αὐτὸς γὰρ ὁ πλάστης καὶ προνοητής, καὶ δι' οὗ τὸ 11) ὁρᾶν πεποίθαμεν τε καὶ πεπιστεύκαμεν, ἀμάχῳ ῥώμῃ τοὺς πόδας ἡμῶν ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων ἀποσπάσει, καὶ λείαν καὶ ὁμαλὴν τὴν ὁδὸν ἡμῶν τῆς σωτηρίας ἀπεργάσεται. Τὸ μὲν οὖν «ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω» τίνα προσῆκε νοεῖσθαι τρόπον, διηγόρευται.

§. δ'. Εἰ δ' ἀντὶ τοῦ μὴ ὑστερησάτω τὸ λόγιον οὐ μὴ ὑστερήσει τῷ γράμματι ἀπαγγέλλοιτο (εὑρίσκεται γὰρ καὶ τοιαύτη τῶν ῥημάτων ἡ προφορά), οὐδὲν κωλύει καὶ οὕτω τὸ μὲν ἔστωσαν τὰ ἱμάτιά σου λευκά, ὡς καὶ προείρηται, σύμβολον τῶν ἀρετῶν ἐκλαμβάνειν, τὸ δὲ οὐ 12) μὴ ὑστερήσει τὸ ἐπὶ κεφαλῆς ἔλαιον, ὅτι τῶν κατορθωμάτων περιαυγαζόντων τὴν ψυχήν, καὶ περιβαλλομένης αὐτῆς τὸν νοητὸν κόσμον καὶ τὴν ἐξ αὐτῶν λαμπρότητα, τὸ πολυτίμητον ἔλαιον καὶ μῦρον, ὃ τὴν τοῦ παναγίου 13) πνεύματος χάριν καὶ δωρεὰν ὑπογράφεται, οὐ μὴ ὑστερήσει, καταρδεῦον καὶ καταμυρίζον σου τὸ ἡγεμονικόν, καὶ πάσης ἱερᾶς καὶ μακαρίας ἀναπιμπλῶν θεωρίας τε καὶ τελειότητος. Εἰ δὲ καὶ κεφαλὴ τῆς Ἐκκλησίας, τουτέστι τῶν πιστῶν, ὁ Χριστὸς καὶ 14) λέγεται καὶ πιστεύεται, οἰκειοῦται δὲ πάλιν τρόπον ἕτερον τοὺς πένητας, καὶ τὴν εἰς ἐκείνους ἐλεημοσύνην εἰς ἑαυτὸν ἀναδέχεται, («ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» 15), διὰ τῶν προκειμένων λόγων ὁ

1) Λείπει τὸ μὴ ἐκ τοῦ ΒΜ. — 2) Ἐν ΒΜ. λείπει τὸ ἔρωτι. — 3) Ἐν ΒΜ. λείπει τὸ αἱ. — 4) Ἡμετ. διόρθ. ὁ δὲ ΑΡ. καὶ ΒΜ. δ' ἄν. — 5) Ἐν ΒΜ. λείπει ὁ καί. — 6) Α. Κορινθ. ια, 3. — 7) Ψαλμ. ιε, 8. — 8) Ψαλμ. ρκβ. 2. — 9) Οἱ ΒΜ. — 10) Δωρεὰν ΒΜ — 11) Παρέλκει τὸ ἄρθρον. — 12) Λείπει τὸ οὐ ἐν ΒΜ. — 13) Ἁγίου ΒΜ 14) Λείπει ἐν ΒΜ. ὁ καί — 15) Ματθ. κε, 40—45.

Ἐκκλησιαστὴς παραινεῖ μὴ καταμελεῖν τοῦ ἀλείφειν ἡμῶν ἐλαίῳ τὴν κεφαλήν, ὅπερ ἐστὶν ἀέναον τὴν ἐλεημοσύνην τοῖς πενομένοις χορηγεῖν· διὰ γὰρ ἐκείνων εἰς τὴν ἡμῶν κεφαλήν, τὸν Χριστόν, τὸν ἔλεον ἀναφέρομεν· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

§. ε'. Οἶδα δέ τινας ἀξιόλογον ἐν πολλοῖς ὑπόληψιν παρεσχημένους 1), τὴν ἀποκαθάρασαν ἡμῶν τοὺς ἀπὸ τῆς γενέσεως μολυσμοὺς καὶ τῆς ἐνύλου προσπαθείας τὸν ῥύπον, ταύτην δὴ τὴν καθάρσιον καὶ σωτήριον ἀναγέννησιν [εἰπόντας] 2) διὰ τῶν προκειμένων ῥημάτων ὑπὸ τοῦ Σολομῶντος δηλοῦσθαι· παραινεῖν γάρ, προορῶντα Χριστοῦ τὴν ἐπιδημίαν καὶ τὰς μυστικὰς δι' αὐτοῦ τελετάς, τὸν ἄνθρωπον τὴν καθαρὰν ταύτην καὶ διαυγῆ λαμπροφορίαν καὶ μέχρι ψυχῆς ἐμβαθυνομένην λευκότητα τῶν ἄλλων ἁπάντων προαιρεῖσθαι, ἐν ᾗ καὶ ἡ κεφαλὴ τῷ ἐλαίῳ ἐπαλείφεται, τῷ τετελεσμένῳ μύρῳ διὰ τοῦ ἁγίου πνεύματος, καὶ ὧν αἰσθήσεων ἡ κεφαλὴ καθηγεῖται, ἐξ αὐτῆς τὸ ῥεῦμα τῶν ἀντιλήψεων χορηγοῦσα. Καὶ τὸ μὲν μικροῦ σύμπαν τῶν λέξεων περὶ πόδα εἶναι τῇ προκειμένῃ θεωρίᾳ, καὶ τῶν ἄλλων πασῶν ἀναπτύξεων ἐξοικειοῦσθαι τὴν ἑρμηνείαν, οὐδενὶ δισταγμόν, μὴ οὐχὶ καλῶς καὶ εἰς τὸ ἀκριβέστατόν τε θεωρεῖσθαι, παρέχει· τὸ δὲ ἐν παντὶ καιρῷ περιβεβλῆσθαι τῶν ἱματίων τὰ λευκά, καὶ τὸ μὴ ὑστερεῖσθαι μηδέποτε τῆς διὰ τοῦ μύρου χρίσεως τὴν κεφαλήν, οὐκ οἶδα πῶς ἂν ῥαδίως συμβιβασθείη, ἅπαξ ἔχοντα καιρὸν ἐπιτελεῖσθαι. Ἀλλὰ καὶ τὸ παραίνεσιν εἰσάγειν μηδενὶ τηνικαῦτα μήτε συνιέναι δυναμένῳ, μήτε μὴν εἰς ἔργον ἄγειν ἀνεχομένῳ, οὐκ οἶδα πῶς ἂν ἐκ τοῦ ῥᾷστου τὸ μάταιον ἀποσκευάσασθαι κατευοδωθείη. Τάχα δ' ἂν ἐν παντὶ καιρῷ λευκὰ φορῶν 3) νοηθείη ὁ μετὰ τὸ καθάρσιον βάπτισμα τῇ λαμπρότητι τῶν ἀρετῶν περιστέλλων ἑαυτόν, καὶ τὸν τῆς ἁμαρτίας ζόφον παντελῶς ἀπελαύνων πλησιάζειν 4) ἑαυτῷ· ὁ γὰρ τοιοῦτος ἐν παντὶ καιρῷ λαμπροφορεῖ· καὶ τὸ μύρον δὲ ὁ τοιοῦτος ἐπὶ τῆς κεφαλῆς εἴη ἂν μὴ ὑστερούμενος, ἀεὶ φρονῶν τὰ τοῦ πνεύματος, καὶ τῆς ἐκεῖθεν χάριτος καταρδόμενος τοῖς ῥείθροις. Εἰ δὲ καὶ τὸ προφητικὸν ὁ Σολομὼν εἶχε χάρισμα συμπληρούμενον, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα διεξιών, τὸν λόγον προεῖπεν, οὗ χρόνοις ὕστερον ἔμελλε τὸ ἔργον ἐκβαίνειν.

ΜΕ'. (ΒΜ. με'.).

Τό, «τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου 5)» πῶς νοητέον; πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν 6).

§. α'. Οὐδὲν θαυμαστόν, ἂν ὁ τὴν γνώμην ἀστήρικτος προσκόπτῃ ἐφ' οἷς ἡ σωτηρία πολλοῖς διαλάμπει καὶ ὠφέλεια· ἀλλ' ἐκεῖνο θαυμαστόν, εἰ καὶ τοὺς ἑκουσίως τυφλώττοντας τὸ νοητὸν 7) φῶς ἀνέχεται περιαυγάζειν τὴν γνῶσιν, καὶ χειραγωγεῖν οὐκ ἐξουθενεῖ, καθορᾷν τὴν ἀλήθειαν· ἐπεὶ καὶ ὁ Κύριος καὶ σωτὴρ ἡμῶν «τοῖς ἀπολλυμένοις πρόσκομμα» γέγονε, καὶ «πέτρα σκανδάλου», καὶ «λίθος ἀποδεδοκιμασμένος, ὁ εἰς κεφαλὴν γωνίας ὑποβεβλημένος», οὐκ αὐτὸς ταῦτα γεγονώς, ἀλλὰ τοῖς πεπλανημένοις δόξας γεγονέναι. Κἀνταῦθα τοίνυν οὐκ ἀποσκευαζόμενος τὴν μητέρα, ὡς τὸ ἄθεσμον 8) φρόνημα βούλεται τῶν δυσσεβούντων, τὸ «τίς ἐστιν, εἶπεν, ἡ μήτηρ μου», οὐδὲ παρὰ φαῦλον τὴν τεκοῦσαν τιθέμενος, ταύτην ὁ Σωτὴρ ἀφῆκε τὴν φωνήν· πῶς γάρ, ὅς γε, κατὰ τὸ ἀτελέστερον τῆς ἡλικίας νόμῳ φύσεως ἔτι γινωσκόμενος, ὑπετάσσετό τε τῇ μητρί, καὶ τὰ προνόμια πανταχοῦ τῇ τεκούσῃ συνδιέσωζε, πῶς οὗτος πρὸς τὴν τελειότητα τῆς ἡλικίας φθάσας, ἀτελέστερον καὶ ἀγνωμονέστερον πρὸς τὴν μητέρα ἂν διετίθετο; Οὔκουν, οὐκ ἀποσκευαζομένου τὴν μητέρα τὰ ῥήματα, ἄπαγε, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ἑρμηνεύοντος· ποῦ γὰρ ἀκόλουθον, ποῦ δ' ἀστασίαστον, ἐξ ἧς διὰ φιλανθρωπίαν ἠξίωσε σαρκὶ προελθεῖν, ἐκ 9) τῶν ἀχράντων [αὐτῆς] αἱμάτων εὐδοκήσας 10) ἑαυτῷ βροτείαν μορφὴν συμπήξασθαί τε καὶ περιάψασθαι, ταύτην ἀπαξιῶσαι μητέρα συνομολογεῖν, καὶ τῆς ἐν ῥήμασιν ἀποστερεῖν οἰκειότητος, προϋποστὰς καὶ προκαταβαλὼν καὶ προδωρησάμενος τὴν ἐν τῷ πράγματι σχέσιν καὶ ἀλήθειαν; Καὶ εἰ ἔμελλεν, (ὢ τῆς γλωσσαλγίας) ἀπαρνήσασθαι ταύτην, τί καὶ τὴν ἀρχὴν ὅλως προσήκατο; τί δὲ σχῆμα περιέδυ, οὗ τὴν μορφὴν ὕβριν ἐνόμιζε; καὶ γὰρ καὶ μέχρι τούτου τῆς γλώσσης ἤλασε τὰ τολμήματα. Ἀλλ' ἡ μὲν ἐκείνων ἀπόνοια, ταύτῃ τε καὶ ἐξ ἄλλων πλειόνων τὸν ἔλεγχον δίδωσιν.

§. ϛ'. Ἴσως δ' ἄν τις, οὐ πόῤῥω τῶν εὐαγγελικῶν γνωρισμάτων διαπλαττόμενος, φᾶναι τὸν Σωτῆρα τὸ ῥῆμα ἐρεῖ, οὐχ ὑποτεμνόμενον μὲν τῇ μητρὶ τὴν τιμήν, οὐδέ, πολλῷ μᾶλλον, ἀπαρνούμενον τὴν ἔμφυτον σχέσιν καὶ στορ-

1) Παρεχομένους ΒΜ. — 2) Ἡμετ. διόρθ. ἐν δὲ ΑΡ. καὶ ΒΜ. λείπει ἡ μετοχή. — 3) Φορεῖν ΒΜ. — 4) Ἴσ. γρ. μὴ πλησιάζειν. — 5) Ματθ. ιβ, 48. — 6) Το ζήτημα τοῦτο ἄλλαις λέξεσιν ἐξέφρασεν ὁ Φώτιος καὶ ἐν τῇ 182 ἐπιστολῇ. — 7) Φορητὸν ΒΜ. — 8) Ἄθεον ΒΜ. — 9) Ἡμετ. διόρθ. ἀντὶ τοῦ «καὶ», ὡς ἔχει καὶ τὸ ΒΜ. — 10) Τὸ ΑΡ. καὶ ΒΜ. ὁ εὐδοκήσας· ἀλλὰ τὸ ἄρθρον παρέλκει.